5 [1]Καὶ ἀνηγγέλη Ολοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ασσουρ διότι
οἱ υἱοὶ Ισραηλ παρεσκευάσαντο εἰς πόλεμον καὶ τὰς διόδους τῆς
ὀρεινῆς συνέκλεισαν καὶ ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ
2 καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα. [2]καὶ ὠργίσθη θυμῷ σφόδρα
καὶ ἐκάλεσεν πάντας τοὺς ἄρχοντας Μωαβ καὶ τοὺς στρατηγοὺς
3 Αμμων καὶ πάντας σατράπας τῆς παραλίας [3]καὶ εἶπεν αὐτοῖς Ἀναγ-
γείλατε δή μοι, υἱοὶ Χανααν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ
ὀρεινῇ, καὶ τίνες ἃς κατοικοῦσιν πόλεις, καὶ τὸ πλῆθος τῆς δυνά-
μεως αὐτῶν, καὶ ἐν τίνι τὸ κράτος αὐτῶν καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ
4 τίς ἀνέστηκεν ἐπ᾽ αὐτῶν βασιλεὺς ἡγούμενος στρατιᾶς αὐτῶν, [4]καὶ
διὰ τί κατενωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ πάν-
5 τας τοὺς κατοικοῦντας ἐν δυσμαῖς. — [5]καὶ εἶπεν πρὸς αὐτὸν Αχιωρ
ὁ ἡγούμενος πάντων υἱῶν Αμμων Ἀκουσάτω δὴ λόγον ὁ κύριός
μου ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγγελῶ σοι τὴν ἀλήθειαν
περὶ τοῦ λαοῦ τούτου, ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην, πλησίον
σοῦ οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ
6 7 δούλου σου. [6]ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων. [7]καὶ παρ-
ῴκησαν τὸ πρότερον ἐν τῇ Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν ἀκο-
λουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν, οἳ ἐγένοντο ἐν γῇ Χαλ-
8 δαίων· [8]καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν καὶ προσεκύνησαν
τῷ θεῷ τοῦ οὐρανοῦ, θεῷ ᾧ ἐπέγνωσαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ
προσώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοποταμίαν καὶ
9 παρῴκησαν ἐκεῖ ἡμέρας πολλάς. [9]καὶ εἶπεν ὁ θεὸς αὐτῶν ἐξελθεῖν
ἐκ τῆς παροικίας αὐτῶν καὶ πορευθῆναι εἰς γῆν Χανααν, καὶ κατ-
ῴκησαν ἐκεῖ καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσιν
10 πολλοῖς σφόδρα. [10]καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψεν γὰρ τὸ
πρόσωπον τῆς γῆς Χανααν λιμός, καὶ παρῴκησαν ἐκεῖ μέχρις οὗ
διετράφησαν· καὶ ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν ἀριθ-
11 μὸς τοῦ γένους αὐτῶν. [11]καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου
καὶ κατεσοφίσατο αὐτοὺς ἐν πόνῳ καὶ πλίνθῳ, ἐταπείνωσαν αὐτοὺς
12 καὶ ἔθεντο αὐτοὺς εἰς δούλους. [12]καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν
αὐτῶν, καὶ ἐπάταξεν πᾶσαν τὴν γῆν Αἰγύπτου πληγαῖς, ἐν αἷς οὐκ
ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν.
13 [13]καὶ κατεξήρανεν ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν
14 [14]καὶ ἤγαγεν αὐτοὺς εἰς ὁδὸν τοῦ Σινα καὶ Καδης Βαρνη· καὶ ἐξ-

**5** 1 δυναμεως] pr. της S | οι > A | και 2⁰] κατα S*† || 2 και ult. — fin. > S || 3 δη > S | υιοι] pr. οι SV† | ουτος ο καθημ.] ενκαθημ. ουτος S†, ουτος ο εγκαθημ. 58† | ανεστηκεν] καθεστ. S† | επ αυτων / βασ.] tr. S*L*† (S† om. ηγουμ. στρ. αυτων) | βασ.] pr. ο A† || 4 μοι] μου S || 5 τουτου > BS || 8 και εξεβησαν] και > B†, εξεβ. δε S† | εξ] εκ της S 58 *L*† | θεω 2⁰ > S 58† || 10 λιμος] pr. ο S 58† (S† tr. ο λιμ. ante το προσ.) | του > S† || 11 κατεσοφισαντο B | εν] pr. και A | πονω] πηλω S 58† | εταπεινωσαν] -σεν SA, pr. και S | εθετο A (non S) || 12 και επαταξεν] παταξον A*† | πασαν την > B†